# ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ

## ΨΗΦΙΣΜΑ
## ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΒΙΟΛΟΓΙΑΣ
## ΤΗΣ ΤΩΝ ΘΕΤΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ ΣΧΟΛΗΣ

ΤΥΧῌ ΑΓΑΘῌ

Πρυτανεύοντος ἐν τῷ Ἀθήνησιν Ἐθνικῷ καὶ Καποδιστριακῷ Πανεπιστημίῳ Μελετίου-Ἀθανασίου Κ. Δημοπούλου, κοσμητεύοντος ἐν τῇ τῶν Θετικῶν Ἐπιστημῶν Σχολῇ Κωνσταντίνου Ἀ. Βαρώτσου, προεδρεύοντος δ᾽ ἐν τῷ Τμήματι Βιολογίας Κυριάκου Χ. Γεωργίου, ἔδοξεν ὁμοφώνως τῷ Τμήματι

## ARNE STRID

ἄνδρα εὖ τε πεφυκότα καὶ παιδείας ἔμπλεων, ἐκ Σουηδίας ὡρμημένον καὶ ἐν Δανιμαρκίᾳ μέγ᾽ εὐδοκιμήσαντα, τὴν βοτανικὴν καὶ τὴν γεωγραφίαν τῶν φυτῶν ἐς ἄκρον ἐσπουδακότα, καινοτόμοις συγγραφαῖς καὶ λόγοις ἐμμελέσι πλήθη φοιτητῶν δεδιδαχότα, πρὸς δὲ τούτοις τὴν ἑλληνικὴν χλωρίδα ἁπανταχοῦ βοτανολογήσαντα καὶ καταγράψαντα καὶ δὴ καὶ τὴν ἐπὶ τῶν Ὀλυμπίων δωμάτων θάλλουσαν ἀναδείξαντα καὶ τὴν ἐπὶ τῶν τοῦ Αἰγαίου πόντου νήσων φυομένην χαρτογραφήσαντα, μετὰ τὸν ἀρχαῖον ἐκεῖνον τῆς ἐπιστήμης τῶν φυτῶν ἱδρυτὴν Θεόφραστον καὶ τοὺς μετὰ τοῦτον Κάρολον Λινναῖον τὸν μέγιστον τῆς συγχρόνου φυτολογίας ἴδμονα καὶ Θεοδώρους, Χελδράϊχ καὶ Ὀρφανίδην, τοὺς νεωτέρους ἐν τῇ πατρίδι ἡμῶν βοτανικούς, ἁπλῶς εἰπεῖν κατὰ λεπτὸν ἅπασαν τὴν φυτῶν ὕλην ἐκμελετήσαντα, ἐπαίνοις τε πολλοῖς καὶ γέρασι λαμπροῖς ἔν τε τῇ αὑτοῦ καὶ ἐν τῇ ξένῃ τετιμημένον, ἐπαινέσαι τε αὐτὸν καὶ ἐπίτιμον διδάκτορα τοῦ Τμήματος ἀναδεῖξαι, τὸ δὲ ψήφισμα τόδε μεμβράνῃ ἀναγράψαι καὶ τὸν τοῦ Τμήματος Πρόεδρον δημοσίᾳ ἐν τῇ αἰθούσῃ τῇ μεγάλῃ ἀναγνόντα καὶ τὰς τιμὰς ἀνειπόντα ἐπιδοῦναι αὐτῷ, ᾗ ἂν ἡμέρᾳ ἡ ἀναγόρευσις γένηται, καθ᾽ ἃ νενόμισται.

Ἐγένετο Ἀθήνησι, μηνὸς Μαρτίου ἑβδόμῃ, ἔτους ἑκκαιδεκάτου καὶ δισχιλιοστοῦ ἀπὸ Χριστοῦ Γεννήσεως.

Ὁ Πρόεδρος
τοῦ Τμήματος Βιολογίας

ΚΥΡΙΑΚΟΣ Χ. ΓΕΩΡΓΙΟΥ

# ΑΝΑΓΟΡΕΥΣΙΣ

Ἐπειδήπερ τὸ Τμῆμα Βιολογίας τῆς τῶν Θετικῶν Ἐπιστημῶν Σχολῆς τοῦ Ἀθήνησιν Ἐθνικοῦ καὶ Καποδιστριακοῦ Πανεπιστημίου τὸν

## ARNE STRID

ἄξιον ἀπέφηνε τοῦ ἐπιτίμου διδακτορικοῦ ἀξιώματος, ἡ δὲ τῶν Θετικῶν Ἐπιστημῶν Σχολὴ τοῦτ' ἀπεδέξατο καὶ ὁ Πρύτανις τῇ τῆς Σχολῆς γνώμῃ ἐπινεύει, διὰ ταῦτα ἐγὼ

## ΚΥΡΙΑΚΟΣ Χ. ΓΕΩΡΓΙΟΥ

καθηγητὴς τῆς Φυσιολογίας φυτῶν, νῦν δὲ τοῦ Τμήματος Βιολογίας Πρόεδρος, χρώμενος τῇ δυνάμει, ἣν παρὰ τῶν Πανεπιστημιακῶν Νόμων καὶ τοῦ Τμήματος ἔχω λαβών, τὸν

## ARNE STRID

ἐπίτιμον διδάκτορα τοῦ Τμήματος Βιολογίας τῆς τῶν Θετικῶν Ἐπιστημῶν Σχολῆς τοῦ Ἀθήνησιν Ἐθνικοῦ καὶ Καποδιστριακοῦ Πανεπιστημίου δημοσίᾳ ἀναγορεύω καὶ πάσας αὐτῷ τὰς προνομίας τὰς τῷ πανεπιστημιακῷ τούτῳ ἀξιώματι παρεπομένας ἀπονέμω.

Ἐγένετο Ἀθήνησι, μηνὸς Ἀπριλίου τρίτῃ, ἔτους ἑπτακαιδεκάτου καὶ δισχιλιοστοῦ ἀπὸ Χριστοῦ Γεννήσεως.

Ὁ Πρόεδρος
τοῦ Τμήματος Βιολογίας

ΚΥΡΙΑΚΟΣ Χ. ΓΕΩΡΓΙΟΥ

# ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

ΠΡΥΤΑΝΕΥΟΝΤΟΣ

ΕΝ Τῼ ΑΘΗΝΗΣΙΝ ΕΘΝΙΚῼ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚῼ ΠΑΝΕΠΙΣΤΗΜΙῼ

## ΜΕΛΕΤΙΟΥ-ΑΘΑΝΑΣΙΟΥ Κ. ΔΗΜΟΠΟΥΛΟΥ

ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΘΕΡΑΠΕΥΤΙΚΗΣ-ΟΓΚΟΛΟΓΙΑΣ-ΑΙΜΑΤΟΛΟΓΙΑΣ
ΕΝ Τῌ ΤΩΝ ΕΠΙΣΤΗΜΩΝ ΤΗΣ ΥΓΙΕΙΑΣ ΣΧΟΛῌ

ΚΟΣΜΗΤΕΥΟΝΤΟΣ
ΕΝ Τῌ ΤΩΝ ΘΕΤΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ ΣΧΟΛῌ

## ΚΩΝΣΤΑΝΤΙΝΟΥ Α. ΒΑΡΩΤΣΟΥ

ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΦΥΣΙΚΗΣ ΤΗΣ ΑΤΜΟΣΦΑΙΡΑΣ

ΚΑΙ

ΠΡΟΕΔΡΕΥΟΝΤΟΣ ΕΝ Τῼ ΤΜΗΜΑΤΙ ΒΙΟΛΟΓΙΑΣ

## ΚΥΡΙΑΚΟΥ Χ. ΓΕΩΡΓΙΟΥ

ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΦΥΣΙΟΛΟΓΙΑΣ ΦΥΤΩΝ

## ARNE STRID

ΑΠΟ ΔΟΓΜΑΤΟΣ ΟΜΟΘΥΜΟΥ
ΤΗΣ ΤΩΝ ΘΕΤΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ ΣΧΟΛΗΣ
ΕΙΣ ΤΟΥΣ ΕΠΙΤΙΜΟΥΣ ΔΙΔΑΚΤΟΡΑΣ ΕΓΚΡΙΝΟΜΕΝ
ΜΗΝΟΣ ΑΠΡΙΛΙΟΥ ΤΡΙΤῌ
ΕΤΟΥΣ ΕΠΤΑΚΑΙΔΕΚΑΤΟΥ ΚΑΙ ΔΙΣΧΙΛΙΟΣΤΟΥ
ΑΠΟ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ

| Ο ΠΡΥΤΑΝΙΣ | Ο ΚΟΣΜΗΤΩΡ | Ο ΠΡΟΕΔΡΟΣ ΤΟΥ ΤΜΗΜΑΤΟΣ ΒΙΟΛΟΓΙΑΣ |
|---|---|---|
| ΜΕΛΕΤΙΟΣ-ΑΘΑΝΑΣΙΟΣ Κ. ΔΗΜΟΠΟΥΛΟΣ | ΚΩΝΣΤΑΝΤΙΝΟΣ Α. ΒΑΡΩΤΣΟΣ | ΚΥΡΙΑΚΟΣ Χ. ΓΕΩΡΓΙΟΥ |